ἀντὶ τοῦ εὐχερῶς μετὰ ῥᾳστώνης. δηλοῦται δὲ ἐκ τῆς λέξεως καὶ τὸ ἁπλόν. καὶ τὸ κακόν. τὸ δὲ ἑξῆς οὐκ ἂν ὧδε φαύλως. Ἀπεπλίξατο.] ἀπεσείσατο. ἀπέφυγεν. πλὶξ γὰρ τὸ βῆμα. καὶ πλίγματα τὰ πηδήματα ἔνθεν καὶ τὸ περιβάδην ἀμ- A φιπλὶξ παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ. καὶ Ὅμηρος. αἱ δ' εὖ μὲν τρώχων αἱ δ' ἐπλίσσοντο πόδεσσιν. ἔλεγον δὲ πλὶξ καὶ τὸ ἀπὸ τῆς χειρὸς εἰς τὸν λιχανὸν δάκτυλον διάστημα. καὶ τὸ μεταξὺ τῶν μηρῶν ὁμοίως.

## ΜΕΣΩΔΗ κώλων δ'.

B

Νῦν δ' ἐπειδὴ στερρὸν ἤδη τοὐμὸν ἀντικνή-
μιον,
Καὶ παλαιῷ Λακρατίδῃ τὸ σκέλος βαρύνε-
ται,
Οἴχεται, διωκτέος δέ. μὴ γάρ ἐγχάνῃ ποτέ,
Μηδὲ περ γέροντας ὄντας ἐκφυγὼν Ἀχαρ-
νέας.

## MESODE.

*Nunc postquam mihi hirsutæ sunt tibiæ*
*meæ:*
*Et seni* Lacratidæ *crura prægrauantur, hic*
*Abÿt: sed mihi persequendus, ne me olim de-*
*rideat:*
*Quòd manus effugerit Acharnensium, senum*
*licet.*

Σχόλια. Νῦν δ' ἐπειδὴ στερρόν.] σκληρόν. ἀντὶ τοῦ γεγηρακὸς καὶ αὖον. ὥσπερ κατ' ἀντίθεσιν ἐπὶ τῶν ἀκμαζόντων χλωρόν. Θεόκριτος. ποιηταὶ δὲ λόγων χλωρῶν. ἀντὶ τοῦ ἀκμαίων, νέων. ἀπὸ μεταφορᾶς τῶν καλάμων. οἱ ὄντες μὲν χλωροὶ ἁπαλοί εἰσι. ξηραινόμενοι δὲ ξηροὶ καὶ σκληροὶ γίνονται. εὐφήμως οὖν εἶπε στερρὸν, ἀντὶ τοῦ ξη- C ρόν. Λακρατίδῃ] Λακρατίδης ἀρχαῖος ἄρχων Ἀθήνησιν. ὡς καὶ Φιλόχορος. ἦρξε δὲ ἐπὶ τῶν χρόνων Δαρείου. ἐφ' οὗ πλείστη χιὼν ἐγένετο. καὶ ἀπέπηξε πάντα, ὥς μὴ δύνασθαί τινα προϊέναι. διόπερ τὰ ψυχρὰ πάντα Λακρατίδου ἐκάλουν. δηλοῦται δὲ καὶ νῦν τὸ ψυχρὸν καὶ γεροντικόν. λέγει οὖν ὅτι διὰ τὸ γῆρας, οὐχ οἷός τέ εἰμι θᾶττον βαδίζειν.

D

## ΑΝΤΙΣΤΡΟΦΗ κώλων ια'.

Ὅστις ὦ Ζεῦ πάτερ
Καὶ θεοί, τοῖσιν ἐ-
χθροῖσιν ἐσπείσατο,
Οἷσι παρ' ἐμοῦ πόλεμος,
Ἐχθοδοπὸς αὔξεται,
Τῶν ἐμῶν χωρίων.
Κοὐκ ἀνήσω, πρὶν ἂν σχοῖνος αὐ-
τοῖσιν ἀντεμπαγῶ,
Ὀξὺς, ὀδυνηρὸς, ἐπί-
κωπος, ἵνα μήποτε
Πατῶσιν ἔτι τὰς ἐμὰς ἀμπέλους.

## ANTISTROPHE.

*Quisquis ô Iuppiter*
*Et Dei, pactum init*
*Cum meis hostibus,*
*Bella quibus hic facio,*
*Armaq; paro, ob soli*
*Limites Attici:*
*Non priùs desinam, quàm velut*
E
*Iuncus his congeler*
*Asper & acutus & a-*
*Cerbus vti nulla mala*
*Deinceps dare meis queant vitibus.*

Σχόλια. Τῶν ἐμῶν χωρίων.] κἀνταῦθα λείπει τὸ ἕνεκα. Πρὶν ἂν σχοῖνος.] εἶδος φυτοῦ κατὰ τὸ ἄκρον ὀξέος καὶ πληκτικοῦ προσεοικότος βελόνῃ. παρατηρεῖν δὲ δεῖ ὅτι ἀρσενικῶς λέγουσι τὸν σχοῖνον. ὁ δὲ λόγος, πρὶν αὐτοὺς τρώσω ὡς σχοῖνος ὀξὺς καὶ ὀδυνηρός. Ἐπίκωπος.] ἀντὶ τοῦ διὰ νεὼς καὶ ναυτικὸς ὤν, ἐπίω αὐτοῖς. ναυτικοὶ δὲ οἱ Ἀθηναῖοι καὶ προσέχοντες τῷ ναυτικῷ. ἡ δὲ ὁμώνυμος λέξις ἐστὶ καὶ παρ' Ὁμήρῳ. οὐ γάρ μοι νέες εἰσὶν ἐ- F πήρετμοι. ἐπίκωπος οὖν ἤτοι ὅπερ ἔφην ναυτικὸς, ἢ ξιφήρης. κώπη γὰρ τοῦ ξίφους ἡ λαβὴ ἢ κόπτειν δυνάμενον. ἤγουν κωπήεις. Ἵνα μήποτε πατῶσιν.] εἰώθασι γὰρ σκόλοπάς τινας ἐγκρύπτειν ἐν ταῖς ἀμπέλοις, ἵνα μηδεὶς ἐξ ἐπιδρομῆς καὶ εὐχερῶς κακουργῇ. ἐπεὶ οὖν προεῖπε σκόλοψ καὶ σχοῖνος αὐτοῖς ἀντεμπαγῶ, εἰκότως ἐπήνεγκε τοῦτο ἵνα μηκέτι πατῶσι τὰς ἐμὰς ἀμπέλους.

## ΕΠΩΔΟΣ στίχων γ'.

G

Ἀλλὰ δεῖ ζητεῖν τὸν ἄνδρα, καὶ βλέπειν
Παλληνάδε.
Καὶ διώκειν γῆν πρὸ γῆς, ἕως ἂν εὑρεθῇ πο-
τε
Ὡς ἐγὼ βάλλων ἐκεῖνον οὐκ ἂν ἐμπλείμην λί-
θοις.

## EPODVS.

*Sed oportet me quærere & videre virum in*
*Pallenicis:*
*Terram persequi pro terra, dum inueniatur v-*
*spiam,*
*Vt ego in opprimendo illo non plenus lapidibus*
*fiem.*

Σχό-